UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Petro Correctori. 145.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Παλλαδίῳ ὑποδιακόνῳ. ρμδ.

Οὐκ ἔστι μικρὸν τὸ μικρὸν εἶναι δοκοῦν, τὸ μὴ προστιθέναι ἁμαρτίαν ἐφ' ἁμαρτίᾳ, ἀλλὰ καὶ μέγιστον. ὁδὸς γάρ ἐστιν ἐπὶ τὴν ἀρίστην φέρουσα μεταβολήν. εἰ γὰρ τὸ ῥεῦμα τῆς κακίας, τὸ ἐπὶ τὴν ἀπώλειαν τρέχον ἠρεμήσειεν, ἀρχὴν λήψεται ἡ ἐπὶ τὴν ἀρετὴν κίνησις. ὥσπερ γὰρ ἡ ἐν τοῖς σταδίοις στάσις, καὶ ἐφηρέμησις τὴν ἐναντίαν τίκτει κίνησιν. εἰ μὴ γὰρ σταίη, οὐκ ἂν εἰς τοὐναντίον χωρήσειεν, οὕτω καὶ ἐπὶ τῆς κακίας, εἰ μὴ παύσοιτο, οὐκ ἂν τῇ ἀρετῇ χώραν δοίη.

*Palladio Subdiacono.* 144.

Aut exigui momenti res eſt, exigui licet eſſe videatur, peccatum peccato minimè cumulare, verùm maximi quoque atque grauiſſimi. Eſt enim via, ad optimam mutationē ferens. Nam ſi vitij profluuiū, quod ad exitium currit, interquieuerit, motus vtique ad virtutem initium ſumet. Quemadmodum enim in ſtadiis inſtitio & quies contrarium motum parit (& enim niſi quis inſtiterit, haudquaquā in aduerſum proceſſurus eſt:) eodem modo in vitio niſi quis finem ſibi conſtituerit, virtuti locum minimè dabit.

Πέτρῳ κορρίκτορι. ρμε.

Ἰσότης φιλότης, ὦ βέλτιστε· τὸ γὰρ ἄνισον τὴν φιλίαν βλάπτειν πέφυκε. μὴ τοίνυν καὶ αὐτὸς φίλῳ χρῶ τῷ αὐτῷ ἀνδρὶ, καὶ κόλακι. οὐ γὰρ ἀνέξεται ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις τὴν φιλίαν συνεζευγμένος.

*Petro Correctori.* 145.

AEqualitas amicitia eſt, vir præclariſſime. Sic enim natura comparatum eſt, vt inæqualitas amicitię detrimentum ac perniciem afferat. Quamobrem caue tu quoque ne eodem homine & amico & adulatore vtaris. Neque enim ille id feret, qui æquo iure amicitiam tecum contraxit.

Θεογνώστῳ πρεσβυτέρῳ. ρμς.

Πολλὰ ἔχων τοῦ ἀοιδίμου Τιμοθέου φράσαι ἂν εἰς ὃ πάντα τείνει λέξω, ὅτι τῆς ἀρετῆς γνήσιος ὢν ἐραστὴς, ἀεὶ πρὸς τὸ ὑπάρχον αὐτῷ κλέος ἀντηγωνίζετο, τὴν ἐπὶ τοῖς προτέροις ἔκπληξιν τοῖς δευτέροις ἔργοις ἀφανίζων.

*Theognoſto Presbytero.* 146.

Cùm de claro viro Timotheo multa, quæ dicam, mihi in promptu ſint, vnū, ad quòd omnia tendunt, referā, nempe quòd cū ſyncero virtutis ſtudio flagraret, aduerſus eam gloriam, quam obtinebat, perpetuò dimicabat, eam videlicet admirationem, quam ipſi priores actiones pepererant, poſterioribus actionibus obſcurans.

Εὐτονίῳ διακόνῳ. ρμζ.

Τῆς κατοχῆς ταύτης τὸ ἀνθρώπινον γένος προειληφυίας τὴν τυραννίδα διακόπτων ὁ σωτὴρ, καὶ ἀπὸ τῶν χαμαιζήλων πραγμάτων εἰς τὴν ὑπερκόσμιον αὐτὸ λῆξιν ἀνάγειν σπουδάζων ἐβόα, ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν. τῇ γὰρ φωνῇ τὴν οἰκείαν κεράσας δύναμιν, τῶν ἐθελόντων ἀναπτῆναι, εἰς οὐρανὸν ἀνέρρωσε τὰς δυνάμεις, ὥστε πολλὰ χαίρειν τῇ προλήψει, φράσαντας τῆς ἄνω πορείας ἔχεσθαι.

*Eutonio Diacono.* 147.

Chriſtus, vt anticipatæ opinionis, quæ genus humanum occupauit, tyrannidem excinderet, ipſúmque ab humilibus & abiectis rebus ad ſedem mundo ſublimiorē eueheret, clamabat, Surgite, abeamus hinc. Huic enim voci vim ſuam admiſcēs, eorum, qui in cælum prouolare cupiebāt, vires confirmauit: adeò vt opinione hac, qua priùs imbuti erant, longùm valere iuſſa, cæleſte iter arripiant.